Σχόλια. Ω Κύπριδι.] ἀντὶ τοῦ ὦ εἰρήνη. καλῶς δὲ εἰρήνη τῇ Ἀφροδίτῃ καὶ ταῖς Χάρισι φίλη. ὅτι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται. καὶ ὅτι ἡδίστη καὶ ἐπιχαρής ἐστιν. Ως καλὸν ἔχουσα.] σωματοποιεῖ τὴν εἰρήνην καὶ κάλλος αὐτῇ περιτίθησι καὶ ἔρωτα αὐτῆς ἔχειν βούλεται. Ελάνθανες] ἐμὲ δηλονότι ὦ εἰρήνη. Ωσπερ ὁ γεγραμμένος.] Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἐν ταῖς Ἀθήναις, ἔγραψε τὸν ἔρωτα ὡραιότατον ἐστεμμένον ῥόδοις. ὁ δὲ νοῦς ὑπερβατός. ἐλάνθανές με οὕτως εὐειδὴς οὖσα ὡς ὁ γεγραμμένος ἔρως. ἀνθέμων. ἀντὶ τοῦ ῥόδων. Η πάνυ γερόντιον.] εἰ καὶ γέροντά με δοκεῖς ὁρᾷν, ὅμως λαβών σε, ἰσχύσω συγγενέσθαι σοι τρεῖς καὶ A πολλάκις. παίζει δὲ ἑξῆς. Αμπελίδος ὄρχον] ἀντὶ τοῦ εἰπεῖν σχῆμα συνουσίας, τοῦτο ἔφη ὡς γεωργός. παρὰ δὲ τὸν ὄρχατον φυτεῦσαι μοσχεύματα σύκων. οὕτω γὰρ καλοῦνται αἱ νέαι συκαῖ. μοσχίδια δέ, τὰ νέα βλαστήματα. καὶ ἡ ἁπαλὴ καὶ νέα λύγος μόσχος. Ομηρος. μόσχοισι λύγοισιν. ὄρχον δὲ εἶπεν ὄρχατον. κωμικῶς ὡς φιλογέωργος ἀλληγορεῖ ὡς ἐπὶ συνουσίας ἐμφαντικῶς κατὰ γεωργίαν τὸ μακρόν. ὄρχος δὲ καὶ ὄρχατος στίχος ἀμπέλων ἢ ἑτέρων φυτῶν. παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν. Ημερίδος.] ἡμερὶς ἡ ἄμπελος
B ὥς φησιν Ομηρος. ἡμερὶς ἡβώωσα. εἴρηται δὲ διὰ τὸ ἡμερῶσαι τὸ τῶν ἀνθρώπων φῦλον.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Σκηνὴ τετάρτη.

### ΚΗΡΥΞ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ.

C

Τρίμετροι καὶ Δίμετροί τε καὶ Ἀνακρεόντειοι.

Bisetus. Κῆρυξ ἥκει, ὃς πάντα τὸν δῆμον κατὰ τὰ πάτρια τὰς χοὰς ὑπὸ τῆς σάλπιγγος πίνειν, καὶ κατὰ τοῦτον τῆς εἰρήνης χρόνον ἡδυπαθεῖν κελεύει.

Κη. Ακούετε λεῴ, κατὰ τὰ πάτρια τὰς χοὰς
Πίνειν ὑπὸ τῆς σάλπιγγος. ὃς δ' ἂν ἐκπίῃ
D Πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται.
Δι. Ω παῖδες, ὦ γυναῖκες, οὐκ ἠκούσατε;
Τί δρᾶτε; τοῦ κήρυκος οὐκ ἀκούετε;
Αναβράττετ', ἐξοπτᾶτε, στρέφετ', ἀφέλκετε
Τὰ λαγῷα, ταχέως τοὺς στεφάνους ἀνείρετε.
Φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας.

E Σχόλια. Ασκὸν Κτησιφῶντος.] ὡς παχὺς καὶ προγάστωρ ὁ Κτησιφῶν κωμῳδεῖται. ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν Χοῶν ἑορτῇ. ἐφ' οὗ ἔδει τοὺς πίνοντας πρὸς ἀγῶνα ἑστάναι, καὶ τὸν πρῶτον πιόντα ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δέ, μέτρον τι οἴνου χοᾶ. Τοῦ κήρυκος οὐκ ἀκούετε.] καλοῦντος εἰς τὴν τῶν Χοῶν ἑορτὴν πάντας. ἐκάλουν δὲ οἱ κήρυκες, σάλπιγγας βαστάζοντες καὶ ἐσήμαινον. Αναβράττετε.] ἀναστρέψατε τὰ ὀπτώμενα κρέα. καὶ ὀπτηθέντα ἐξέλκετε.

## ACTVS IV. SCENA quarta.

### PRÆCO, DICÆOPOLIS, CHORVS.

*Senarij, & dimetri, itémque Anacreontij.*

PR. *Audite populi, congios more patrio*
*Ebibite sub tubæ sonum: qui congium*
*Ebiberit, primus Ctesiphontis vtrem auferet.*
DI. *O pueri, ô mulieres, non audiuistis hoc?*
*Quid agitis? non audiuistis præconem? age*
*Lixate, assate, vertite, detrahite à veru*
*Lepores nunc illico: corollas nectite.*
*Verua tu affer mihi vt figam turdos, puer.*

---

## ΣΤΡΟΦΗ Κώλων ι'.

F

Χο. Ζηλῶ σε τῆς εὐβουλίας,
Μᾶλλον δὲ τῆς εὐωχίας,
Ανθρωπε τῆς παρούσης.
Δι. Τί δῆτ' ἐπειδὰν τὰς κίχλας
Ὀπτωμένας ἴδητ';
Χο. Οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν·
Δι. Τὸ πῦρ ὑποσκάλευε.
Χο. Ηκουσας ὡς μαγειρικῶς,
G Κομψῶς τε καὶ δειπνητικῶς,
Αὑτῷ γε διακονεῖται.

Σχόλια. Ζηλῶ σε τῆς εὐβουλίας.] θαυμάζω τὴν εὐβουλίαν σου ὦ Δικαιόπολι. διπλῆ καὶ περίοδος δεκάκωλος ἀμοιβαία. τούτων δὲ τῶν δέκα κώλων τὰ μὲν α. β. δ. ϛ. η. θ. ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ δὲ γ. ε. ζ. ι. δίμετρα καταληκτικά. Τὸ πῦρ ὑποσκάλευε] ἀνάφυσα. ζωπύρει. Σ.

## STROPHE Verſ. 10.

CH. *Miror tuam prudentiam,*
*Conuiuiique gratiam,*
*Heic instituti, amice.*
DI. *Quid si meas auiculas*
*Assas videre detur?*
CH. *Et te hoc bene dicere arbitror.*
DI. *Exuscita focum igne.*
CH. *Audin' verba culinaria:*
*Vt scitè, vt cœnatoriè*
*Inseruiat sibi ipse?*